ἔβαλον πάντας τοὺς κατοικοῦντας ἐν τῇ ἐρήμῳ [15]καὶ ᾤκησαν ἐν γῇ 15
Αμορραίων καὶ πάντας τοὺς Εσεβωνίτας ἐξωλέθρευσαν ἐν τῇ ἰσχύι
αὐτῶν. καὶ διαβάντες τὸν Ιορδάνην ἐκληρονόμησαν πᾶσαν τὴν ὀρει-
νὴν [16]καὶ ἐξέβαλον ἐκ προσώπου αὐτῶν τὸν Χαναναῖον καὶ τὸν 16
Φερεζαῖον καὶ τὸν Ιεβουσαῖον καὶ τὸν Συχεμ καὶ πάντας τοὺς Γερ-
γεσαίους καὶ κατῴκησαν ἐν αὐτῇ ἡμέρας πολλάς. [17]καὶ ἕως οὐχ 17
ἥμαρτον ἐνώπιον τοῦ θεοῦ αὐτῶν, ἦν μετ᾽ αὐτῶν τὰ ἀγαθά, ὅτι
θεὸς μισῶν ἀδικίαν μετ᾽ αὐτῶν ἐστιν. [18]ὅτε δὲ ἀπέστησαν ἀπὸ τῆς 18
ὁδοῦ, ἧς διέθετο αὐτοῖς, ἐξωλεθρεύθησαν ἐν πολλοῖς πολέμοις ἐπὶ
πολὺ σφόδρα καὶ ᾐχμαλωτεύθησαν εἰς γῆν οὐκ ἰδίαν, καὶ ὁ ναὸς
τοῦ θεοῦ αὐτῶν ἐγενήθη εἰς ἔδαφος, καὶ αἱ πόλεις αὐτῶν ἐκρατή-
θησαν ὑπὸ τῶν ὑπεναντίων. [19]καὶ νῦν ἐπιστρέψαντες ἐπὶ τὸν θεὸν 19
αὐτῶν ἀνέβησαν ἐκ τῆς διασπορᾶς, οὗ διεσπάρησαν ἐκεῖ, καὶ κατ-
έσχον τὴν Ιερουσαλημ, οὗ τὸ ἁγίασμα αὐτῶν, καὶ κατῳκίσθησαν ἐν
τῇ ὀρεινῇ, ὅτι ἦν ἔρημος. [20]καὶ νῦν, δέσποτα κύριε, εἰ μὲν ἔστιν 20
ἀγνόημα ἐν τῷ λαῷ τούτῳ καὶ ἁμαρτάνουσιν εἰς τὸν θεὸν αὐτῶν
καὶ ἐπισκεψόμεθα ὅτι ἔστιν ἐν αὐτοῖς σκάνδαλον τοῦτο, καὶ ἀνα-
βησόμεθα καὶ ἐκπολεμήσομεν αὐτούς· [21]εἰ δ᾽ οὐκ ἔστιν ἀνομία ἐν 21
τῷ ἔθνει αὐτῶν, παρελθέτω δὴ ὁ κύριός μου, μήποτε ὑπερασπίσῃ
ὁ κύριος αὐτῶν καὶ ὁ θεὸς αὐτῶν ὑπὲρ αὐτῶν, καὶ ἐσόμεθα εἰς
ὀνειδισμὸν ἐναντίον πάσης τῆς γῆς. — [22]καὶ ἐγένετο ὡς ἐπαύσατο 22
Αχιωρ λαλῶν τοὺς λόγους τούτους, καὶ ἐγόγγυσεν πᾶς ὁ λαὸς ὁ
κυκλῶν τὴν σκηνὴν καὶ περιεστώς, καὶ εἶπαν οἱ μεγιστᾶνες Ολο-
φέρνου καὶ πάντες οἱ κατοικοῦντες τὴν παραλίαν καὶ τὴν Μωαβ
συγκόψαι αὐτόν [23]Οὐ γὰρ φοβηθησόμεθα ἀπὸ υἱῶν Ισραηλ, ἰδοὺ 23
γὰρ λαὸς ἐν ᾧ οὐκ ἔστιν δύναμις οὐδὲ κράτος εἰς παράταξιν ἰσχυ-
ράν· [24]διὸ δὴ ἀναβησόμεθα, καὶ ἔσονται εἰς κατάβρωσιν πάσης 24
τῆς στρατιᾶς σου, δέσποτα Ολοφέρνη. — [1]καὶ ὡς κατέπαυσεν ὁ 6
θόρυβος τῶν ἀνδρῶν τῶν κύκλῳ τῆς συνεδρίας, καὶ εἶπεν Ολοφέρ-
νης ἀρχιστράτηγος δυνάμεως Ασσουρ πρὸς Αχιωρ ἐναντίον παντὸς
τοῦ δήμου ἀλλοφύλων καὶ πρὸς πάντας υἱοὺς Μωαβ [2]Καὶ τίς εἶ 2
σύ, Αχιωρ καὶ οἱ μισθωτοὶ τοῦ Εφραιμ, ὅτι ἐπροφήτευσας ἐν ἡμῖν
καθὼς σήμερον καὶ εἶπας τὸ γένος Ισραηλ μὴ πολεμῆσαι, ὅτι ὁ

15 εν γη] γην S† | τους εσεβων SA (+ και παντας S†: sic!) || 17 εως] + ου S† | ην / μετ αυτων] tr. S† | θεος] pr. ο S pl. || 19 και $2^0$ > B† | οτι] οτε S*† || 21 ει δ(ε)] ιδου A† | αυτων $1^0$] αυτω *L*†, τουτω S† | δη > AV† | μου > BA | ο $2^0 \frown 3^0$ S† | υπερ] περι A | ονειδος SA || 22 αχ(ε)ιωρ λαλων] tr. SA | ο κυκλων την σκηνην και περιεστως] και περιεστως > S*, ο κυκλω της σκηνης περιεστως A | παντες > S† || 24 καταβρωμα B 58 *L*†: cf. 10 12

6 1 και $2^0$ > B | ο αρχιστρ. της δυν. et των αλλοφυλων A | και προς παντας (+ τους A†) υιους μωαβ / (2) και τις ει συ αχιωρ] tr. BS || 2 του > B*† | ο $1^0$ > B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1033 UNIVERSITÄT LEIPZIG